Εὐρυσθέα σοι τόνδ' ἄγοντες ἥκομεν,
ἄελπτον ὄψιν, τῷδέ τ' οὐχ ἧσσον τύχην·
οὐ γάρ ποτ' ηὔχει χεῖρας ἵξεσθαι σέθεν,
ὅτ' ἐκ Μυκηνῶν πολυπόνῳ σὺν ἀσπίδι
ἔστειχε μείζω τῆς δίκης φρονῶν πολύ,
πέρσων Ἀθήνας. Ἀλλὰ τὴν ἐναντίαν
δαίμων ἔθηκε, καὶ μετέστησεν τύχην.
Ὕλλος μὲν οὖν ὅ τ' ἐσθλὸς Ἰόλεως βρέτας
Διὸς τροπαίου καλλίνικον ἵστασαν·
ἐμοὶ δὲ πρὸς σὲ τόνδ' ἐπιστέλλουσ' ἄγειν,
τέρψαι θέλοντες σὴν φρέν'· ἐκ γὰρ εὐτυχοῦς
ἥδιστον ἐχθρὸν ἄνδρα δυστυχοῦνθ' ὁρᾶν.

ΑΛ. Ὦ μῖσος, ἥκεις ; εἷλέ σ' ἡ Δίκη χρόνῳ ;
Πρῶτον μὲν οὖν μοι δεῦρ' ἐπίστρεψον κάρα
καὶ τλῆθι τοὺς σοὺς προσβλέπειν ἐναντίον
ἐχθρούς· κρατῇ γὰρ νῦν γε κοὐ κρατεῖς ἔτι.
Ἐκεῖνος εἶ σύ — βούλομαι γὰρ εἰδέναι —
ὃς πολλὰ μὲν τὸν ὄνθ' ὅπου 'στὶ νῦν ἐμόν
παῖδ' ἠξίωσας, ὦ πανοῦργ', ἐφυβρίσαι ;
Τί γὰρ σὺ κεῖνον οὐκ ἔτλης καθυβρίσαι ;
ὃς καὶ παρ' Ἅιδην ζῶντά νιν κατήγαγες,
χῦδρας λέοντάς τ' ἐξαπολλύναι λέγων
ἔπεμπες. Ἄλλα δ' οἷ' ἐμηχανῶ κακά
σιγῶ· μακρὸς γὰρ μῦθος ἂν γένοιτό μοι.
Κοὐκ ἤρκεσέν σοι ταῦτα τολμῆσαι μόνον,
ἀλλ' ἐξ ἁπάσης κἀμὲ καὶ τέκν' Ἑλλάδος
ἤλαυνες ἱκέτας δαιμόνων καθημένους,
τοὺς μὲν γέροντας, τοὺς δὲ νηπίους ἔτι.
Ἀλλ' ηὗρες ἄνδρας καὶ πόλισμ' ἐλεύθερον,

930 τῷδε Canter : τῶνδε || τύχην H. Estienne : τυχεῖν || 932 πολυπόνῳ... ἀσπίδι Hermann : πολυπόνων... ἀσπίσιν || 937 ἵστασαν Elmsley : ἔστ- || 943 ἐναντίον Elmsley : -τίους || 949 Ἅιδην rec : ἅδη || 950 χῦδρας Dobree : ὕδ-.